Qui nimis freti ſunt armis ſuis, nec implorant diuinum auxilium, per ipſa arma intereunt.

52.

Lupus et leo.

Lupus rapuerat porcum, quem dum auferret, incidit in leonem. Continuo ergo leo praeda ſpoliauit lupum. Tum is ſic ſecum reputaſſe fertur, Ipſe quoque miraturus fuiſſem, ſi, quod rapina abſtuliſſem, obtinuiſſem.

Qui aliena occupauit vi et auaritia, raro ea diu poſſidet.

53.

Auium concilium.

Aues quondam conuocata concione in commune ſingulae deliberabant, quem ſibi regem eligeret. Pauo contendebat, imperium deberi ſibi, quod ſpecie et forma praeſtaret. Aſſentiebantur pauoni reliquae, ſolus coruus, cum ad dicendum prodiiſſet, ſic contra diſputare eſt auſus, Si ad te delatus fuerit principatus, Pauo, Poterisne aquilae impetum a nobis arcere?

Imperio apti ſunt, non qui excellunt pulcritudine, ſed quos prudentia et fortitudo nobilitauit.

54.

Iuuenis et vetula.

* * * * * * * *

55.

Sol, boreas et homo.

Sol et boreas aliquando disceptabant inter se, vter vestimentis nudare posset hominem. Boreas primus crebro flatu contundit hominem. Homo contra, frigore vt est adustus vehementius, vestimentis arctius adstrictis vi maxima ea continuit, ne possent violento venti impetu auferri. Omnino ergo non potuit laedere aut nudare boreas hominem. Sol autem postea cum illuxisset, igneo aëris calore aestuauit dies. Continuo vestibus se exuit homo reiecitque in humeros onus intolerabile.

Modestia rebus gerendis multo est aptior, multoque efficacior, quam arrogantia.

56.

Duo homines et canis.

Homo quidam morsu canis vehementer sauciatus quaerebat medicum, qui vulnus curaret. Obuiam fit ei alius, suadetque tinctum cruore panem obiicere cani, a quo sit laesus. Hanc enim fore medicinam vulneris. Si id, respondet aeger, fecero, omnes oppidi huius canes me mordebunt.

Etiamsi quis hominem improbum coluerit et beneficiis affecerit, tamen ille non tam studiosum sui et beneuolum, quam sui similes malos amabit.

57.

Auis et hirundo.

Auis quondam repererat ſerpentis oua, iisque incubabat, vt foueret. Id vt hirundo animaduertit, ſtulta, inquit, et inſipiens, cur ſerpentis curas prolem? Scilicet, vt, ſi adoleuerint, tibi primum, poſt deinde aliis afferant perniciem?

Nemo cuiquam, malo ingenio praedito, tametſi maxime beneuolum ſe ei praebuerit, habere fidem debet.

58.

Paſſer et auceps.

Paſſerculus quidam degebat in myrto, captusque amoenitate arboris nunquam inde recedebat. Auceps vero, qui illi fuerat inſidiatus, correptum volebat interficere. Paſſerculus autem neci proximus ita locutus fertur, Heu miſero mihi, cui ciborum dulcedo attulit necem.

Ita homines quoque ventri et deliciis dediti mali male pereunt.

59.

Camelus cornua ſibi petens.

Camelus cornua deſiderans, precibus adiit Iouem, vt ibi ea adderet. Ille iratus cupiditatemque belluae vltus aures quoque eius minuit.

Qui plura appetunt, ſaepe amittunt, quae poſſident.

60.

Olores et anſeres.

Olores et anſeres amici inter ſe facti exierant quondam in campos. Quibus coniunctim paſcentibus ſuperueniunt venatores. Olores corporis celeritate et volatu tuto euadunt periculum. Anſeres autem natura tardiores, deſerti ab amicis, in venatorum incidunt manus.

Haec fabula arguit eos, qui amicos ſuos non adiuuant totis viribus, ſed produnt in periculis.

61.

Lupi et homo.

Lupi nonnulli in fluuio conſpicientes pelles boum, eas inde auferre volebant. Sed altitudo et impetus vndarum inhibuit audaciam. Decreuerunt ergo, prius vndas ebibere, poſt deinde penetrare ad pelles. Id homo quidam animaduertens, Si omnino, inquit, tantas vndas ebibere audebitis, citius rupti perieritis.

Haec fabula notat eos, qui quae effectu carent, per ſtultitiam aggrediuntur.

62.

Cicada et homo.

Cicada cum videret ab homine quodam ſibi fieri inſidias, Illas potius, inquit, capias aues, quae tibi commodum afferre poſſint. Si enim me ceperis, nullum inde habebis lucrum.

Non appetenda ſunt inutilia.

INDEX FABVLARVM.

1. *Asinus et cicada.*
2. *Homo et mors.*
3. *Hirundo et coruus.*
4. *Fluuii et mare.*
5. *Felis et lima.*
6. *Venator et lupus.*
7. *Galli gallinacei duo.*
8. *Columba et vas aquaticum.*
9. *Coruus et pastor.*
10. *Lepus et vulpes.*
11. *Taurus, leaena et aper.*
12. *Pastor, ouis et leo.*
13. *Leo et duo tauri.*
14. *Vulpes et simia.*
15. *Ceruus et venatores.*
16. *Canis et fabri aerarii.*
17. *Vulpes et leo.*
18. *Serpens calcata.*
19. *Canes et vulpes.*
20. *Ceruus aegrotans.*
21. *Venator et canis*
22. *Lepores et vulpes.*
23. *Puer et vir.*
24. *Aquila et vulpes.*
25. *Vipera et homo.*
26. *Auceps et perdix.*
27. *Homo et auis.*
28. *Canis cibum ferens.*
29. *Asinus et equus.*
30. *Onager et asinus.*

31. *Ficus et oliua.*
32. *Homo quidam et olitor.*
33. *Canis et macellarius.*
34. *Canis et olitor.*
35. *Venter et pedes.*
36. *Noctua, fulica et rubus.*
37. *Leo aegrotans et ferae.*
38. *Canis et lupa.*
39. *Iuuenis et scorpio.*
40. *Taurus, leo et caprae agreſtes.*
41. *Vir et aethiops aqua ſe abluens.*
42. *Vidua et auis.*
43. *Formica et cicada.*
44. *Capra et lupus.*
45. *Homo, equa eiusque pullus.*
46. *Piſcator et ſimia.*
47. *Culex et taurus.*
48. *Homo et cyclops*
49. *Venator et lepus.*
50. *Canis et lepus.*
51. *Feles et mures.*
52. *Lupus et leo.*
53. *Auium concilium.*
54. *Iuuenis et vetula.*
55. *Sol, boreas et homo.*
56. *Duo homines et canis.*
57. *Auis et hirundo.*
58. *Paſſer et auceps.*
59. *Camelus cornua ſibi petens.*
60. *Cycni et anſeres.*
61. *Lupi et homo.*
62. *Cicada et homo.*

PORPHYRII

ET

ALIORVM

SCHOLIA INEDITA

AD

ILIADOS Ω.

EX

CODICE MOSQVENSI.

PORPHYRII
ET
ALIORVM
SCHOLIA INEDITA
AD
ILIADOS Ω.

Ὑπόθεσις.

Ζεὺς κηδόμενος — δεῖπνον ἄγει] Conuenit codex in hoc argumento cum editione Erneſti, niſi quod pro κοιμίσαντος, legitur 1) καὶ κοιμήσας.

Ἄλλη ὑπόθεσις.

Λυθέντος τῆς ἀγῶνος, οἱ μὲν ἄλλοι ἀναχωρῆσιν ἐπὶ τὰς ἰδίας σκηνάς. ἀχιλλεὺς δὲ βαρείᾳ συνεχθεὶς λύπῃ, κηδίζεται πάλιν τὸν ἕκτορος νεκρὸν περὶ τὸν τῆς πατρόκλε τάφον, ὡς καί τινας ἐπὶ τούτῳ χαλεπῆναι τῶν θεῶν, μάλιστα δὲ ὑπὲρ πάντας τὸν ἀπόλλωνα. καὶ

ζεὺς

1) καὶ κοιμίσας habet Euſtath. et Ald. 2. Mox τὸν, ante ἀχιλλέα, omittunt Euſtath. et Ald. 2. Pſeudo-Didymus autem poſt ἱκετεύσας, exhibet αὐτὸν, pro αὐτῷ. In indice poſtremo Stephanus λύτρων habet: pro ἕνεκ' autem cum Euſtath. legit ὠκύς.

ζεὺς πέμπει Ἶριν, θέτιδι μὲν παρακελευόμενος [1]) αὐτῇ, εἰπεῖν τῷ παιδὶ, ὅπως λαβὼν παρὰ πριάμου λύτρα, ἀποδῷ αὐτῷ τὸν τοῦ παιδὸς νεκρόν· πριάμῳ [2]) δὲ, ὅπως πληρώσας ἀπήνην τῶν ἥσαι καὶ τέρψαι δυναμένων ἀχιλλέα παραγένηται, παρὰ πρεσβύτου ἑνὸς κήρυκος [3]) πρὸς αὐτὸν. κομίσασθαι γὰρ αὐτὸν ἔφη τὸν τοῦ παιδὸς νεκρόν. ὁ δὲ πειθεὶς παρεγένετο, καὶ νυκτὸς ἐπιγενομένης πάλιν ζεὺς πέμπει ἑρμῆν προπομπὸν αὐτῷ ἐσόμενον. καὶ κατακοιμήσας [4]) τοὺς φύλακας τῶν ἑλλήνων. ὃς καὶ τὸ προστεταγμένον ἔπραξε καὶ τὸν πρεσβύτην εἰσήγαγεν εἰς ἀχιλλέα. ὅσις δεῖται ἀχιλλέα λαβόντα λύτρα ἀποδῶναι αὐτῷ τὸ τοῦ παιδὸς σῶμα. τὸν γοῦν νεκρὸν λύσας ἀπέδωκε τῷ πατρί. καὶ τῆς νυκτὸς ἀποτρέφει εἰς τὴν ἴλιον ὁ πρίαμος, καὶ ὅσα ἐπὶ τοῖς τελευτήσασι γίνεται ποιήσας, θάπτει αὐτόν. καὶ ἐνταῦθα λήγει ἡ ἰλιάς.

Ad verſ. 1.

Λῦτο] Εἰ μέν ἐστι μέσος δεύτερος ἀόριστος, ἀπὸ τῶν εἰς μι γίνεται, ὁμοίως τῷ λῦτο [5]) γέναται, ὃ καὶ ἄμεινον. εἰ δὲ καὶ παρατατικὸς, ἀπὸ τοῦ ἐλύετο, κατὰ κρᾶσιν, ὁμοίως τῷ ξῦμαι γενεήν τε τόκον τε. ἢ ἀπὸ τοῦ λέλυτο λῦτο, ὡς τὸ βέβλητο, βλῆτο.

ἀγὼν] ἢ τὸ πλῆθος, [6]) ὡς τὸ, ἀν' ἀγῶνα νεῶν, ἢ αὐταὶ αἱ ἀγωνίσεις. παρὰ δὲ βοιωτοῖς ἀγὼν, ἡ ἀγορά. ὅθεν καὶ ἀγωνίδες θεὰς αἰσχύλος, τὰς ἀγοραίας. ἔστι δὲ καὶ ἀγὼν ὁ κυκλοτερὴς τόπος καὶ μὴ ἔχων

1) αὐτῇ locum non habet. Forte αὐτῆς, i. e. τῷ παιδὶ αὐτῆς.
2) Intell. παρακελεύεται.
3) Forte excidit προπεμφθείς. Poſſis tamen etiam μετὰ πρεσβ. legere. Mox κομίσασθαι, pro κομίσεσθαι.
4) Forte κατακοιμίσοντα.
5) Il. Φ. 114.
6) Haec maximam partem ex Euſtath. contracta ſunt.

ἔχων γωνίαν. οἱ δὲ ἀπὸ ῥήματος τῦ ἄγω, ἀγών, ὡς τὸ ἀείδω ἀηδών. Ibid. τὸ ἄθροισμα τῶν [1]) θεατῶν.

ad v. 2.

ἐσκίδναντ'] ἐσκορπίζοντο.

δόρποιο] δόρπος ἡ πρὸς ἑσπέραν τροφὴ, μεθ' ἣν ἐπὶ τὸ ἰάνειν ἔρπομεν, ὅ ἐστι κοιμᾶθαι. ἢ ἀπὸ τῦ δρέπεσθαι τὰς πόνους. ἢ δόρπόν τι ὂν, τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων.

ad v. 3.

ταρπήμεναι] τέρψιν λαβεῖν. ἀπὸ κοινῦ δὲ τὸ μέδοντο. λελῆθότως δὲ δεδήλωκεν, ὅτι μέχρις ἑσπέρας παρετάθη ὁ ἀγών.

ad v. 4.

κλαῖε φίλε] ἐπειδὴ ἀπὸ τῆς ἀνέσεως τῦ ἀγῶνος ἐν ἄλλῃ καταστάσει πεποίηκε τὸν ἀκροατὴν, ὥστε ὑπονοεῖν, μὴ καὶ ἀφῆκεν ἐκ τῆς ψυχῆς τὴν ἀνίαν ἀχιλλεὺς, πάλιν ἐπὶ τὸ συνεκτικὸν μεταβαίνει πρόσωπον. μονωθεὶς γὰρ ὁ ἀχιλλεὺς ἔτι τῇ λύπῃ κρατεῖται.

ad v. 5.

παυδαμάτωρ] ἦρει μὲν, ἐχ ὁλοτελῶς δὲ, διὰ τὸ πένθος. ἢ καὶ πάντες δαμάζων, αὐτὸν ἐχ ἦρει. ὥστε ἀνωτέρω τὸ αἴτιον τῦ ὕπνε, ὁ κόπος ἦν. παυδαμάτωρ δὲ, ὁ μηδένα ἐῶν ἀδάμαστον. Σιμωνίδης δὲ [2]) δαμασιφώτατον αὐτὸν εἶπεν.

ad v. 6.

ἀνδροτῆτα] δεξιῶς ὑπόκειται, τίνα ἦν τὰ ἀναμιμνήσκοντα αὐτὸν τῦ πάθες. ἐ γὰρ, ὅτι συνέπαιζεν,

1) Ita Pseudo-Didymus.
2) δαμασίφωτα Eustath.

ἐδ' ὅτι αὐτὸν ἐκολάκευεν, ἐδ' ὅτι ἡδὺς συμπότης ἦν, ὡς ὁ τοῦ ἕκτορος. ἐπεὶ οἱ ἑταῖρος ἔην [1]) Φίλος εἰλαπιναστής. ἀλλ' ὅτι κοινωνὸς ἀρετῆς καὶ γενναίων ἔργων. οἱ δὲ [2]) ἀθετοῦντες τὰς ςίχας, πῶς ἐκ ἐμβρόντητοι, ῥηματίων κακοχόλων [3]) ἐχόμενοι καὶ τοιούτων ἐπῶν κατηγορῆντες; ἀθετεῖνται δὲ, ὅτι ἀνδροτής [4]) ἐςιν ἡ τοῦ ἀνδρὸς φύσις. ἀλλ' εἶπε, καὶ μένος ἠὲ, καὶ ὅτι ἐδαμῆ [5]) συνετολύπευσέ τι αὐτῷ. ἀλλ' ἐν πᾶσιν αὐτοῦ τοῖς ἔργοις εὑρίσκομεν, ὅτι συνήρει. συνέκδημος γὰρ αὐτῷ ἐξ αὐτῆς τῆς φθίας ἦν.

ad v. 7.

τολύπευε] εἰς τέλος ἤγαγεν. ἀπὸ τῶν ἐρίων. τολύπη [6]) γὰρ ἡ σφαῖρα τῶν ἐρίων. ὅθεν τὸ ἐκ πολλῶν πραγμάτων εἰς ἕν τι κεφαλαιῶν, τολυπεύειν λέγεται. καλῶς δὲ καὶ τὸ πάθεν, ἐπεὶ ῥέζοντά τι, καὶ παθεῖν ἔοικεν.

ad v. 8.

[7]) πείρων] βαρυτόνως. φησὶ γῆν νύκτας τε καὶ [8]) ἠῶ πεῖρε κέλευθον. καὶ περὶ δορὶ [9]) πεπαρμένος. καὶ ὡς σπείρω, σπόρος, φθείρω, φθόρος, ἕτω πείρω, πόρος.

1) Il. ρ. 577.

2) Nihil apud Euſtath. quidem reperio, vnde appareat, hos verſus olim ſuſpectos fuiſſe.

3) Forte κακοζήλων.

4) ἀνδροτῆτα· ἀνδραότητα. Apoll. Lex.

5) Forte πανταχῆ, pro ἐδαμῆ.

6) Euſtath. p. 1336. v. 18.

7) Pſeudo-Didym. in ſcholiis laudat πειρῶν, de quo Euſtath. monet in notis ad h. l.

8) Reſpicit, ni fallor, Odyſſ. β. 434. vbi ſchol. Codicis Moſq. πεῖρεν. explicat ἐπλήρωσεν.

9) ἐδύνησι πεπαρμένος legitur Il. ε. 399. vbi Schol. Cod. Moſq. 1. πεπιεσμένος, βεβλημένος.

πόρος. καὶ [10]) ἀκροπόρες, τὲς πείροντας τὰ κρέα τοῖς ἄκροις. ἀπὸ δὲ τῦ πορῶ γίνεται πορὸς καὶ πορθμός.

ad v. 11.

πρηνὴς] ἐκ ἔχει πρόθεσιν ἡ λέξις. τὸ γὰρ προπρηνέα τύψῃ, πλεονός ἐστιν ἐμφάσεως. τὸ δὲ τότε, ἀντὶ τῦ ἄλλοτε.

ad v. 12.

δινεύεσκ'] περιήρχετο.
ἀλύων] ἀδημονῶν, ἀσατῶν.

ad v. 15.

ἕλκεσθαι] Πορφυρίε· διατί ὁ ἀχιλλεὺς τὸν ἕκτορα εἵλκε περὶ τὸν τάφον τῦ πατρόκλε, παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρὸν, ἢ παρανομῦσι τὰ αὐτὰ ἐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ ἄρχοντες; ὁ δὲ ἕκτωρ πρότερος ἀνεχείρησε [2]) λωβήσασθαι τὸν πάτροκλον τοιῦτα. Τίς γὰρ ἡ γνώμη ἕκτορος περὶ πάτροκλον; μάλιστα [3]) δὲ Φαίδιμος ἕκτωρ ἑλκέμεναι μέμονε, κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει πῆξαι [4]) ἀνασκολόπεσσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς. εἵλκυσαί τε [5]) πρότερος πάτροκλος, διὰ τὴν τῶν τρώων περὶ τὸν νεκρὸν [6]) προθυμίαν. ὡς [7]) δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην λαοῖσι δοίη τανύειν, μεθύουσαν ἀλοιφῇ, δεξάμενοι δ' ἄρα τοίγε διασάντες τανύουσι κυκλόσ' ἄφαρ δ' ἔτ' ἰκμὰς δύνει δέ τ' ἀ-

1) Odyſſ. γ. 463. ἀκροπόρες ὀβελές. vbi ſchol. Cod. Moſq. τὲς κατὰ τὸ ἄκρον ὀξεῖς. Mox malim, ἀπὸ δὲ τῦ πείρω, τὸ περῶ, γίνεται πόρος. Vide infra notas.
2) Forte ἐπεχείρησε.
3) Il. σ. 175.
4) ἀνὰ σκολόπεσσι.
5) Malim δέ.
6) προθυμίαν non capio. Forte παρανομίαν.
7) Il. ρ. v. 389, ſeqq.

λειφθὴ πολλῶν ἑλκόντων τάνυται δέ τε πασα διαπρό. ὣς οἵγ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ εἵλκον ἀμφότεροι. καὶ πάλιν [8]) ἕκτωρ μὲν πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα, ἕλχ', ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι. ἐκείνων ἓν λελυκότων τὸν νόμον, ὅτως ἐχρήσατο αὐτοῖς ὁ ἀχιλλεύς. ὅταν γὰρ βελόμενός τις κωλυθῇ, ἐκεῖνος μὲν πεποίηκεν, ἀλλ' ὁ πάσχων ἐδὲν πέπονθε. πάτροκλος δὲ φθάσας περιέλκυσαι· γυμνὸς ἐν τῷ πεδίῳ, διὰ πρόφασιν τῶν προθεμένων αἰκίσασθαι τὸ σῶμα. ὥς' ἀπολαμβάνοντι ἔοικεν ὁ ἕκτωρ, ἃ μὲν δέδρακεν, ἃ μὴν πάσχοντι τὰ παράνομα. καὶ φιλανθρωπότερόν γε, ὅτι μόνον, ἃ δρᾶσαι δεδύνηται, πέπονθεν, οὐχ ὅσα δὲ δράσαι διενοήθη. ἔστι δὲ λύειν, φησὶν ἀριστοτέλης, καὶ εἰς τὰ ὑπάρχοντα ἀνάγων ἔθη, ὅτι τοιαῦτα ἦν. ἐπεὶ καὶ νῦν ἐν τῇ θετταλίᾳ περιέλκεσι περὶ τὰς τάφους. [2])

ad v. 16.

Τρὶς] πολλάκις.

ad v. 17.

αὖτις] ἀπὸ τῆς ἑαυτῆ σκηνῆς ἀρχόμενος αὐτὸν ἑρύειν, καὶ πολλάκις ἑρύων τελευταῖον πάλιν μέχρι τῆς σκηνῆς ἐπαύετο τῆ ἕλκειν αὐτὸν [3]) γινόμενος.

Τόνδε δ' ἔασκεν] ἀντὶ τῆ ἑνὸς, οἱ δύο σύνδεσμοι. ὡς τὸ, τόνδ' ἐγὼν [4]) ἐπὶ νῆα δεδέξομαι. τινὲς δὲ, δέασκεν, ἀντὶ τῆ ἐδέσμευεν.

ad v. 20.

1) Il. ρ. 125.

2) Videtur excidisse τὰς νεκρὰς aut τὰς φονευθέντας.

3) Sublato in fine γινόμενος, malim post σκηνῆς addere γενόμενος.

4) Similis locus est Il. ε. 238. τὸν δὲ δ' ἐγὼν. Scribendum ergo et hic τὸν δὲ δ'. Cyrilli Gloss. MS. ἔασκεν· ἔφιεν, Corr. ἧφιεν.

ad v. 20.

περὶ δ' αἰγίδι] ἀθετοῦνται οἱ [1]) δύο. νέφει γὰρ αὐτὸν σκέπει, τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε. καὶ αἰγὶς δὲ ἔστιν αὐτῷ.

ad v. 22.

ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζε μενεαίνων] Πορφυρίῳ τὸ ἀείκιζεν, ἀντὶ τοῦ ὕβριζεν. αἰκία δὲ ἐστὶ καὶ ἡ ὕβρις μόνον, ἀλλὰ καὶ τὸ αἶσχος, παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθήκειν. ὡς φησὶ δαίνυ δαῖτα γέρουσιν, ἔοικέ τοι ἅτοι ἀεικές. ὡς εἰ ἔλεγε πρέπει σοι καὶ καθήκει τοῦτο. ὅτι δὲ ἡ αἰκία καὶ ἐπὶ τοῦ αἴσχους δηλοῖ. εἰπὼν γάρ, τοῖο δ' ἀπόλλων πᾶσαν ἀεικίην ἄπεχε χροΐ, εἶτα φησὶν, αἶσχος ἄπειρον, ἐξηγούμενος τὴν αἰκίαν. ἢ μέν μιν περὶ σῆμα ἑοῦ ἑταίροιο φίλοιο ἕλκει ἀκηδέσως. ὃδέ μιν αἰσχύνει. κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίων. ὑβρίζει ἢ ἀεικίζει, ἐφ' οἷς ἂν ἄν τις εἴξειεν. ἢ ἀνόμοιον ποιεῖ τῷ πρόσθεν καὶ ἂν ἐοικὼς ἑαυτῷ. ὅθεν ἐπαγγελλόμενος τὸ μὴ αἰκίσαι, φησὶν, ἀλλ' ἔπει ἄρ κέ σε συλήσω κλυτὰ τεύχε' Ἀχιλλεῦ, νεκρὸν Ἀχαιοῖσι δώσω πάλιν. ὃ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ. πρὸς ὃ εἶπεν, οἷον χωρὶς τοῦ ἀπεοικότα γενέσθαι, δώσω τὸν νεκρόν. τὸ δὲ παρὰ τὸ καθῆκον, ἀεικέλιον λέγεται. [2]) δμῳὰς τε γυναῖκας ῥυσάζοντας ἀεικελίως. ῥυσάζειν δὲ τὸ ἕλκειν εἰς ὕβριν. πῶς [3]) νῦν εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισιν ἧμενος, ὧδε πάθοι ῥυσακτύος ἐξ ἀλεγεινῆς. σοί τ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι γένηται. τὴν γὰρ ὕβριν ἔφη ῥυσακτὺν μεταφορικῶς ἀπὸ τῶν ἑλκομένων. ὃ γὰρ εἱλκύσθαι, ἀλλ' ὑβρίσθη. τὸ μέν-

1) Eustath. p. 1337. v. 37.

2) Odyss. π. 108. vbi schol. Cod. MS. ῥυσάζοντας explicat, μεθ' ὕβρεως ἕλκοντας.

3) Odyss. σ. 222.

τοι ἔλκειν εἰς ὕβριν ἔφη. λητὼ [1]) δὲ εἵλκυσεν, ὕβρισε, διὸς κυδρὴν παράκοιτιν. καὶ ἐκ πλήρες ἐν ἄλλοις ἑλκύσασιν ἀεικελίως. παρατηρητέον δὲ τὰ ἐκ πλήρες παρ' αὐτῷ λεγόμενα. ἵνα καὶ τὰ ἐλλιπῶς προενηνεγμένα ἐκεῖθεν ἀναπληρώσωμεν. ἐκ πλήρες μὲν γὰρ ἔφη, πῶς κεν ἔοι τὰ δὲ ἔργα. ἐλλιπῶς δὲ, πῶς κ' ἔοι. εἴ τις νῶϊ θεῶν αἰειγενετάων εὔδοντ' ἀθρήσειε. καὶ εἴ τι [2]) ἐλλιπέστερον, πῶς ἔν, εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισι, τὸ δὲ πλῆρες, πῶς κεν ἔοι τάδε ἔργα. ὅτι δὲ τὸ αἰκίζειν ἤτοι αἰκίζειν, τὸ, μὴ ἐοικότα ποιεῖν, δῆλον ἐκ τῆ κατήκισας, [3]) τετέσιν ἀλλ' ἀνωμοίωτας. καὶ ἀσκηθὴς ἔν, ὁ μὴ παθὼν ἀεικέλια, μηδὲ αἰσχυνθεὶς, μηδ' ἀάσχετα, [4]) ἀλλ' ὁλόκληρος. ἐξηγεῖται δὲ αὐτὸς. ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο, τεύχεσί τε ξυμπᾶσι καὶ ἀγχεμάχοις ἑτάροισι. τῆτο ἴσον τῷ ἀρτεμὴς, ὡς εἶδον ζωόν τε καὶ [5]) ἀρτεμέα προσιόντα.

ad v. 23.

Τόνδ' ἐλεαίρεσκον] ἀπὸ [6]) τέτε ὀκτὼ ἀθετῆσιν. καὶ τοὺς μὲν ἑξῆς ἐκ ἀλόγως. ὁ δὲ πρῶτος ἐμοὶ δοκεῖ δεόντως κεχρῆθαι, ὥσε τὴν συναφὴν εἶναι, τόνδ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες. ἀλλ' ὅτε δὴ ῥ' ἐκτοῖο. πιθανὸν γὰρ πάντων μὲν ἅπτεσθαι τὸν ἔλεον,

1) Odyſſ. λ. 579. ὕβρισεν eſt interpretatio, quae etiam in Cod. MS. ad h. l. legitur.

2) Forte ἔτι.

3) Odyſſ. π. 290. et τ. 9. Priori loco Schol. Cod. MS. explicat βέβλαπται, poſteriori πεπαλαίωται.

4) Hic videtur excidiſſe vocabulum.

5) Il. ε. 515. vbi ſchol. Cod. Moſq. 1. ἀρτεμέα· ἄρτιον, σῶον.

6) Euſtath. p. 1337. v. 18. ἰστέον, ὅτι τὸ, κλέψαι δ' ὠτρύνεσκον καὶ ἑξῆς τὲς πέντε στίχες, ἀθετῆσιν οἱ παλαιοί. διά τε ἄλλα, καὶ ὅτι ἀπρεπὲς τὲς ἀμφὶ τὴν ἀθηνᾶν, θυμὸν ἔχειν τὸν αὐτὸν τῷ ἀχιλλεῖ, καὶ ὅτι θεοῖς ἃ πρέπον τὸ κλέπτειν.

ἔλεον, ἄρξαθαι δὲ τῶν λόγων τὸν μᾶλλον κηδόμενον ἕκτορος· οἱ ἑπτὰ ἓν δεόντως ἀθετοῦνται ὡς ἀρίσαρχος. τὸ γὰρ κλέπτειν δι' ἑρμοῦ, θεοῖς ἐπρέπον. ἄλογόν τε τὸ εἰπόντα τὴν γνώμην τῶν θεῶν, τὴν περὶ κλοπῆς, ἐπάγειν τὰς λόγχας τῷ ἀπόλλωνος κοινῇ κατηγορηθέντος τῶν θεῶν. ἄντικρυς ἓν ἐλέγχονται, μὴ ὄντες ὁμήρου. ἐκ ἔδει γὰρ θεὰς τὸν αὐτὸν θυμὸν ἔχειν ἀχιλλεῖ. καὶ τὸ, [1]) νείκεσσεν, ἄκυρον ἐπὶ δικαστοῦ. ἐπὶ γὰρ δικαζομένων αὐτὸ τίθησιν, ὡς τὸ, ἄνδρες [2]) ἐνείκεον εἵνεκα ποινῆς. οἱ δὲ νεώτεροι ἐπὶ τοῦ τὸ νεῖκος διαλύειν. ὡς ἀντίμαχος εὐνείκεσα δ' ἦσαν τὰ λόγια, ἀντὶ τοῦ εὐδιάκριτα. καὶ ἡ μέσαυλος, σημαίνουσα τὴν ἐν ὄρεσιν οἴκησιν, ὁμήρου παραδεδωκότος ἐν ἄσει τετράφθαι τὸν ἀλέξανδρον, καὶ μουσικὴν ἠσκηκέναι, ἐκ ἄν τοι χραισμήσῃ [3]) κίθαρις, ἥ τε κόμη τό, τε εἶδος, μηδαμῶς ἀγροίκῳ ἁρμόζοντα. ἥ τε [4]) μαχλοσύνη νεωτέρων ἐστὶν, ἀμέλει ἐδαμῶς αὐτῇ χρῆται, ἀλλ' ἐδὲ ἐπὶ ἀνδρῶν τίθεται. τήν τε ἔριν τοῦ κάλλους, ἐκ οἶδεν ὁ ποιητής. ἐδαμοῦ γὰρ αὐτῆς ἐμνήσθη, καὶ ὁ πρίαμος δὲ, [5]) θεοῖς, ἀλλ' ἐ τῇ κρίσει τὴν αἰτίαν περιάπτει.

πῶς

1) νείκεσσεν interpretatur Euſtath. p. 1337. v. 38. κατεδίκασε φιλονείκως καὶ ὀνειδιστικῶς. Ibid. μέσαυλον· ποιμενικὴ κατοικία, ἤτοι ἔπαυλις, ἀγροτικὸς σαθμός.

2) Il. σ. 498.

3) Il. γ. 54.

4) Euſtath. p. 1337. v. 32. Vocabulum μαχλοσυνης retulit etiam in Lexicon ſuum Apollonius. v. p. 536. vbi in notis Villoiſonus, V. Cel. hunc Homeri locum tractat. Lexicon MS. μαχλάς ἡ πόρνη. Quo vocabulo vtitur Philo p. 369. 772. Idem Lexicon. μαχλῶσαν· πορνεύσασαν.

5) Il. γ. 164. θεοὶ νύμοι αἴτιοί εἰσιν κ. τ. λ.

πῶς δ' ἂν τὰς ναῦς ἀρχεκάκους [1]) εἶπε καὶ ἐ τὴν κρίσιν;

ad v. 27.

ἀλλ' ἔχον] διέκειντο. ὅτω φησὶ διαθέσεως εἶχον καὶ διέκειντο, ὡς ἀπ' αὐτῆς τῆς ἀρχῆς.

ad v. 30.

πόρε] τὰ πρὸς πορνείαν ἐπιτήδεια, τὴν κόμην καὶ τὸ εἶδος.

ad v. 31.

ἐκ τοῖο] ἐξ ἧς ἕκτωρ ἀπέθανεν. εἶτα ὑλοτόμησαν. τρίτη δὲ ἡ τῆ ἀγῶνος. εἶτα μετὰ ταῦτα ἐννέα. φησὶ γᾶν ἐννῆμαρ [2]) δὴ νεῖκος ἐν ἀθανάτοισιν ὀρώρει. ἐπίτηδες ἀνοχὰς παρέχεσι τρωσὶ γνωσιμαχῆσαι, ἢ ὅτι πλέον ἐβέλετο πάτροκλον ὁ στρατηγῶν ἀχιλλεὺς πενθῆσαι.

ad v. 33.

σχέτλιοι] ἐπιβλαβῆ καὶ δυσανάσχετα πράσσοντες. λείπει δὲ ὁ καὶ, ἵν' ᾖ, καὶ δηλήμονες, ὅ ἐστι φθαρτικοί. καὶ τοῖς μὲν τρωϊκοῖς μέμφεται, ὅτι τῶν θανόντων ἀμελῶσι φίλων, τοῖς δὲ ἑλληνικοῖς, ὅτι πέρα θυμῶνται τῆ θέοντος.

ad v. 36.

ἀλόχῳ ἰδέειν] οἰκτίζεται, γονέων μνηθεὶς καὶ γαμετῆς καὶ τέκνων, εἰργομένων τῷ φιλτάτῳ τῆ κοινῆ μεταδῶναι πυρός.

ad v. 39.

ὀλοῷ] τῷ ὀλοθρευτικῷ, τῷ ὀλέθρῳ ἀξίῳ.

ἐπαρ-

1) Il. ε. 63. ὃς καὶ ἀλεξάνδρῳ τεκτήνατο νῆας ἰδυίας, ἀρχεκάκους.
2) Il. ω. 107.

ἐπαρήγειν] προστίθεσθαι, καὶ τοῖς ἐκείνου εἴκειν θελήμασιν.

ad v. 41.

γναμπτὸν] εὐπειθές. [1]) πιθανῶς δὲ τῇ εὐσεβείᾳ ἕκτορος, ἀντέθηκε τὴν ἀχιλλέως ὠμότητα.

ad v. 42.

ἐπεὶ ἄρ μεγάλη] καὶ ὁ ἐπεὶ παραπληροῖ ἐνταῦθα. ἔχει γὰρ ἔχει ἀπόδοσιν. ἢ ἡ μετοχὴ, [2]) ἀντὶ ῥήματος. καὶ ἴσον τοῦτο.

ad v. 46.

μέλλει] ἔοικε.

ad v. 47.

ὁμογάστριον] ἤτοι γὰρ ἐνδιάθετοι ἀδελφοί. τὰς δὲ ὁμοπατρίας οὐκ ᾤοντο τελείας συγγενείας εἶναι. ἐπεὶ οὐχ ὁμογάστριος ἕκτορός εἰμι.

ad v. 49.

τλητὸν γάρ] τοῦτο δείκνυσιν, ὅτι δεῖ γενναίως τὰ συμβαίνοντα φέρειν, ὡς μηδὲν τῆς ἀγανακτήσεως ὠφελέσης.

ad v. 52.

οἱ τόγε κάλλιον] λείπει τὸ ἔσαι, ἢ τοῦ παύσασθαι, ἢ καὶ ἀντὶ [3]) ἁπλῶν.

ad v. 53.

ἀγαθῷ] ἀνδρείῳ.

ad v. 54.

1) νόημα γναμπτὸν interpretatur Euſtath. p. 1338. v. 16. per ἐπιείκειαν.

2) Euſtath. p. 1388. v. 18. μετοχὴ, ἀντὶ ὁριστικοῦ ῥήματος. τὸ γὰρ ἐπεὶ οὖξας, ταὐτόν ἐστι τῷ, ἐπαδὰν οὖξῃ.

3) i. e. συγκριτικὰ ἀντὶ ἁπλῶν.

ad v. 54.

κωφὴν γὰρ] ἀντὶ τοῦ [1]) ἀναίσθητον. κέχρηται δὲ τῷ ἰδικῷ ἀντὶ γενικοῦ. κωφὸν δὲ καὶ τὸ μὴ προέμενον φωνήν. κωφὸν γὰρ βέλος, καὶ κύματι κωφῷ. καλῶς δὲ τὸ ἀναίσθητον γῇ παρείκασεν. ἢ ὅτι ἀπὸ γῆς τὸ σῶμα. καὶ ὅτι βαρὺ καὶ γεῶδες. καὶ ἐμπεδοκλῆς φησὶ, νέκυες κοπρίων ἐκβλητότεροι.

γαῖαν] σῶμα.

ad v. 55.

χολωσαμένη] ἐπὶ τῇ κατηγορίᾳ ἀχιλλέως ὠργισαι. τὴν δὲ ἀπολογίαν πρὸς ἕτερα πεποίηται. ὁ γὰρ ὅτι ἐχ ἥμαρτεν ἀπολογεῖται, ἀλλ' ὥσπερ λαβὴν εἴληφε τὸ ὑπὸ ἀπόλλωνος εἰρημένον, ἀλλ' ὁλῷ ἀχιλλῆϊ θεοὶ βέλεθ' ἑπαρήγειν. καί φησιν, ὅτι δεόντως ἔτος τιμᾶται διὰ τὴν ἀρετήν.

ad v. 56.

εἴηκεν] πρέπον σεαυτῷ εἴρηκας, ἢ ἔοικε σὸν τὸ ἔπος εἶναι, ἢ εἴη ἂν καὶ τοῦτο τὸ ἔπος τῶν σῶν φλυαρημάτων.

ad v. 57.

θήσετε] ἀντὶ τοῦ, θήσεις σὺ καὶ μόνος πρῶτος. ὁ γὰρ ἄλλος τίς.

ad v. 58.

γυναῖκα] γυναικεῖον.

ad v. 60.

ἀτίταλλα] ἔτι [2]) ἀταλὴν, ἤτοι νέαν ἔσαν, ἀνεθρεψάμην.

ad v. 63.

1) Eustath. p. 1338. v. 47.

2) Odyss. λ. 39.

ad v. 63.

ἄπιτε] ὡς ὑποχόμενος βοηθήσειν ἀχαιοῖς. ἐπέγναμψε γὰρ ἅπαντας ἤρη λισσομένη.

ad v. 64.

ἀπαμειβόμενος] πιθανῶς ὁ ζεὺς διαδέχεται τὴν δικαιολογίαν τῦ παιδὸς, ὲ θελήσαντος ἐπὶ τῦ πατρὸς ἐρίζειν τῇ γυναικί.

ad v. 65.

ἀποσκύδμαινε] ὥσπερ ἐρίζω, ἐριδμαίνω, ἔτω καὶ σκύζω, σκυδμαίνω. ἢ ἀπὸ τῶν ὀργιζομένων λεόντων ἐπὶ τῇ ἀφαιρέσει τῶν σκύμνων. ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον συσολῆς τῦ δέρματος.

ad v. 66.

ὲ μὲν γὰρ τιμή γε μί'] ὲχ ἕνα μόνον τιμήσομεν. ἢ ὲχ ὁμοία ἡ ἐπὶ πάντας ἴσα τιμή.

ad v. 68.

ἔμοιγ'] δοκεῖ, ἢ ὡς ἐμοὶ καὶ τοῖς ἄλλοις ἦν φίλος.

ad v. 69.

εἴσης] τῆς ὀφειλέσης καὶ δεέσης. καὶ αὐτοῖς γὰρ μοίρας ἀπένεμον καὶ ἀπήρχοντο ἐξ ὅλων τῶν μελῶν, τέτῳ δὲ πλέον.

ad v. 71.

κλέψαι] τὴν περὶ τῦ κλέψαι βελὴν ἐάσομεν.

ad v. 73.

παρμέμβλωκεν] παρακάθηται φυλάττεσα.

ad v. 74.

ἀλλ' ἤθέ τις (sic in scholiis. In carmine ipso est, ἀλλ' εἴ τις] ὥσπερ δὲ εὐπόντος, ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἀνέση κάλχας, ἔτω καὶ νῦν ἡ ἶρις.

ad v. 78.

ad v. 78.

σάμβ] τῆς [1]) νῦν σαμοθράκης. σάμβας δὲ τὰς λόφους ἔλεγον. ἐκαλεῖτο δὲ λευκονία. εἶτα οἰκισθεῖσα ὑπὸ σαμίων, ὧν τὰ σκάφη οἱ αἰχμάλωτοι θρᾷκες κατέλυσαν, σαμοθράκη ὠνόμασαν.

ad v. 80.

μολυβδαίνη] [2]) μολυβδίνη ὁρμιᾷ. μόλυβδος δὲ ἐπίκειται τῷ ἀγκίστρῳ εἰς τὸ καθέλκειν αὐτὸ τῷ βάρει κάτω. Ibid. τῷ μολύβδῳ, ὃ πρὸς τῇ ὁρμιᾷ καὶ τῷ ἀγκίστρῳ ἐστὶ, πρὸς τὸ θάττον καθικνεῖσθαι τὸ βυθοῦ.

ad v. 81.

βοὸς κέρας] κεράτιόν τι, προσκείμενον [3]) τῷ ἀγκίστρῳ, ἵνα μὴ οἱ ἰχθύες ἀποβιβρώσκωσι τὴν ὁρμιάν. ἔστι δὲ ὁμόχροιον τῇ θαλάσσῃ. οἱ δὲ νεώτεροι κέρας, τὴν συμπλοκὴν τῶν τριχῶν.

ad v. 85.

ἔμελλε] ἀντὶ τοῦ ἐμοιρήθη ἢ ἀντὶ τοῦ ἐῴκει. Ibid. Ἐπειδὴ μέλλει καταορέφειν τὸ λόγον εἰς τὰς ἕκτορος ταφὰς προλαβεῖν τί ἐπιχειρεῖ τῶν ἑξῆς. καὶ τὸ κέντρον ἐγκαταλιπὼν ὡς ὁ κωμικὸς φησι τοῖς ἀκροωμένοις ὥστε ποθῆσαί τι καὶ περὶ τῆς ἀχιλλέως ἀναιρέσεως ἀκέσαι καὶ ἐυνοεῖν παρ' ἑαυτοῖς οἷος ἂν ἐγένετο ὁ ποιητὴς διατιθέμενος ταῦτα. καὶ ἔστι περιπαθὲς τὸ κλαίειν τὸν ζῶντα.

ad v. 88.

ἄφθιτα] ἀναλλοίωτα, ἀμετάβλητα.

ad v. 90.

1) Sic Euſtath. p. 1340. v. 14. ſeqq.
2) Ita Pſeudo-Didym. ad h. l.
3) Conf. Euſtath. p. 1340. v. 32. et Pſeudo-Didym. ad h. l. p. 393.

ad v. 90.

τίπτε με] τὸ ἐξῆς. τίπτε μ' ἄνωγε μίσγεσθ' ἀθανάτοισιν. ἢ λείπει τὸ ἐλθεῖν, μετὰ τὸ, θεός.

ad v. 91.

ἄκριτα] ἀναρίθμητα.

ad v. 92.

ἐδ' ἅλιον] ἐ ματαιώσω τὴν κέλευσιν αὐτῆ.

ad v. 94.

μελάντερον ἔπλετο ἔθος] παρὰ τὸ ἕω τὸ ἐνδύομαι. παρὰ τοῦτο δὲ ἡ ἐθής. οἰκεῖον δὲ θαλασσίᾳ θεῷ καὶ πενθούσῃ τὸ μέλαν.

ad v. 96.

λιάζετο] καὶ [1]) ὑπεχωρίζετο, ὥσπερ ὁδὸν παρέχον.

ad v. 97.

ἐς ἠρανὸν] τὸν τῆ μέλανος κόλπον.
αἰϊχθήτην] τὸν ὑπερνέφιον τῆ ὀλύμπε τόπον.

ad v. 100.

εἶξε δ' ἀθήνη] ἡ μὲν ἀθήνη, ὡς νεωτέρα τῆ θρόνε ὑπείκει· ἡ δὲ ἥρα, ὡς βασίλισσα τῇ δεξιώσει φιλοφρονεῖται.

ad v. 102.

ὤρεξε πιῆσα] ἀντὶ τῆ [2]) ὀρέξασα ἔπιεν.

ad v. 109.

κλέψαι] Ἱστορία· [3]) ζεὺς ἐραθεὶς μαίας τῆς ἀτλαντίδος λαθὼν ἥραν ἐμίγη. ἡ δὲ ἔγκυος γενομένη ἐν κυλλήνη

1) διαχωρίζεσθαι habet Euſtath. p. 1341. v. 10.
2) ἀντέστρεψε τὸ ποτήριον. Euſtath. ibid. v. 25. ἐνεχείρησεν. Pſeudo-Did.
3) Hanc hiſtoriam narrant Euſtath. et Pſeudo-Didym. ad Il. ω. 24.

λήνη τῆς ἀρκαδίας ἑρμῆν ἐγέννησεν. ὅσις ἐπιθυμίαν ἔχε τῦ κλέπτειν, ὅτι καὶ ζεὺς κλέψας τὴν ἥραν ἐμ'γη μάιχ. καὶ δήποτε τῆς μητρὸς μετὰ τῶν ἀδελφῶν αὐτῆς [1]) λυομένης, λαθων ὑφήλετο τὰς ἐσθῆτας. γυμναὶ δὲ ἐκεῖναι ὄσαι, ἠπόρουν τί διαπράξαθαι. γέλωτα δὲ διὰ τῦτο ἑρμῆς ποιήσας, ἀπέδωκεν αὐταῖς τὰς ἐσθῆτας. ἔκλεψε δὲ καὶ τὰς ἀπόλλωνος βῶς. ἱστορεῖ [2]) ἐρατοσθένης.

ὀτρύνεσκον] Σεναχηρείμ· ἠδύνατο τῦτο πλάσαι ὁ ποιητὴς, ἀλλ' ἐπεὶ καταβλητικὸν ἦν τῆς τιμῆς τῦ ἀχιλλέως καὶ τῦ φθάσαντος κατορθώματος ἀνάξιον, καὶ κίνδυνος προσῆν ἐντεῦθεν τῷ μεγίστῳ ἔργῳ. αὖτις δ' ἑτέρωθεν ἀναγκαῖον εὗρηται λυθῆναι αὐτὸν, ἵνα μὴ πρὸς κακίαν ἡ ποίησις ἐκτραχηλιωθῆ, ἀμφοτέρωθεν οἰκονομεῖται τὰ τῦ πράγματος. καὶ τιμᾷ μὲν κἀκ τῆς τῶν δώρων προσαγωγῆς τὸν ἀχιλλέα. φυλάττει δὲ καὶ τὸ ἐκεῖσε καθῆκον. ἐπεὶ δὲ ἔλυσε τὸν υἱὸν τότε παρὰ τῦ ἑρμῦ ἐξάγεται τῦ πρατοπέδυ μετὰ τῦ νεκρῦ.

εὔσκοπον] τὸν συνετὸν, κατὰ τὸν σκοπὸν φέροντα τὴν γνώμην.

ad v. 110.

προτιάπτω] [3]) προσάπτω.

ad v. 111.

μετόπιθε] λείπει ὁ καὶ. ἵν' ᾖ καὶ ἐσύστερον θέλων τὴν πρὸς σὲ φιλίαν τηρῆσαι.

ad v. 112.

1) λυομένης corrige.

2) In libello Eratosthenis, quem adhuc habemus, nihil de hac re memini legere. v. Valckenarium V. Cel. ad Il. χ. v. 29.

3) Satis apparet ex interpretatione, Scholiastam legisse προτιάπτω. Alteram tamen lectionem Eustath. quoque notat. p. 1341. v. 42.

ad v. 112.

ἐς ϛρατὸν ἐλθὲ] τὴν θέτιν ἀποϛέλλει πρὸς ἀχιλλέα, διὰ τὸ τῆς συμβελῆς εὐπαράδεκτον. ἦκεε γὰρ αὐτῆς, ὡς πάντα προειδυίας.

ad v. 114.

μαινομένησιν] μανίας γὰρ ἴδιον, τὸ αἰκίζεσθαι τὰ ἀναίθητα.

ad v. 117.

ἐφήσω] ἐντελῶμαι τὰ περὶ τέτϛ. Ibid. Πορφυρίϛ. τὸ [1]) ἐφήσω ἐκ ἔϛιν ἐπιπέμψω ἁπλῶς. ἀλλ' ἔϛιν ἐντολὰς αὐτῇ δὲς πέμψω. τίς δὲ ἡ ἐντολὴ, λύσαθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας ἀχαιῶν. ἐφετμὴ γὰρ ἐντολὴ, παρὰ τὸ ἐφίεσθαι γεγονυῖα, ὅ ἐϛιν ἐντέλλεσθαι. ὑμέων δ' ἀνδρὶ ἑκάϛῳ ἐφιέμενος τάδε εἴρω, ὡς εἰ ἔλεγεν ἐφετμὰς ποιέμενος.

ad v. 123.

ἐδινὰ] ἀθρόως καὶ ἐξ ἀνακλίσεως. ἢ ἀδιαλείπτως.

ad v. 124.

ἄριϛον] ὃ [2]) ἡμεῖς λέγομεν ἀκράτιϛμα. ὥϛπερ πάλιν τὸ παρ' ἡμῖν ἄριϛον ὁ ποιητὴς ϕησι δεῖπνον, μεθ' ὃ δεῖ πονεῖν. τὸ δὲ δεῖπνον, δόρπον παρὰ τὸ δόρυ παύεσθαι.

ad v. 125.

λάϛιος] λάϛιος σημαίνει καὶ τὸ συνετός.

1) Eustath. p. 1341. v. 63. ἐφήνω, ἐνταῦθα μὲν, ἀντὶ τοῦ ἐπιπέμψω· ἀλλαχοῦ δὲ ἴϛον τῷ ἐντελῶμαι. ἀφ' οὗ καὶ ἐφημοσύνη, ἡ ἐντολή.

2) Ita Pseudo-Did. p. 394.

3) συνόμοιον μαλλοῖς ϕησὶν ἡ Ὀδύϛεια. Eustath. 1342. v. 11.

ad v. 129.

σὴν ἔλεαι] ἐντεῦθεν [1]) πυθαγόρας παραινεῖ, μὴ ἐθ'ειν ζώϐ καρδίαν. ὁ γὰρ ἐκείνην ἐθίων, καὶ τὴν ἑαυτῦ ἐθίει. τετέσιν ἀδέποτε ἀτάραχον καὶ ἄλυπον ἑαυτὸν τηρεῖ.

ad v. 134.

ἐὲ] δασυντέον τὸ πρῶτον ε̄ τῦ ἑὲ, ὡς [2]) καλέ.

ad v. 137.

ἄποινα] τὰ μὲν ἄποινά φησιν ὑπὲρ ζώντων. σὺ δὲ ὑπὲρ νεκρῦ καὶ ἀχρήϛϐ δέξαι αὐτὰ καὶ κερδάνης.

ad v. 139.

τῆδ' εἴη] ἀντὶ τῦ ἐνθάδε. τὸ δὲ εἴη, ἀντὶ τῦ παραγένοιτο. ὁ δὲ ζώπυρος, ἀντὶ τῦ ἔϛω.

ad v. 144.

ἶρι ταχεῖα] ἀντὶ τῦ ταχέως.

ad v. 148.

οἷον] ὑπὲρ τῦ λαθεῖν, ἅμα δὲ καὶ ἔλεον ἡ μόνωσις ἐργάζεται.

ad v. 149.

κῆρυξ] μόνον ἀπελθεῖν μετὰ τοσῦτων λύτρων, ἀδύνατον. ἐπάγεϑαι δέ τινα τῶν νέων εἰς πολεμίων ϛρατὸν, ἀπίθανον. ἐ μόνον ἐκ κῆρυξ ἔπεται, ὅ ἐϛι ϛπονδῶν καὶ πίϛεως σύμϐολον, ἀλλὰ καὶ ἕτος γέρων.

ad v. 152.

1) Euſtath. p. 1342. v. 13.

2) Id quid ſibi velit, non intelligo. Puto aliud vocabulum ſubſtituendum eſſe. Nec omnino hic de ſpiritu dubitari poterat, ſed de accentu. v. Il. ν. verſ. 171. vbi eſt ἕϊ.

ad v. 152.

τάρβος] ἀπὸ τῦ τείρω τάρος καὶ πλεονασμῷ τῦ β τάρβος.

ad v. 156.

ἐτ' αὐτὸς κτενέει] διὰ πάντων ἀσφαλῆ τὴν ἔξοδον αὐτῷ κατασκευάζει. τὸν μὲν ἐν τῇ ὁδῷ κίνδυνον δι' ἑρμῦ διαφεύξεσθαι ὑπισχνέμενος. ἐν ἀχιλλέως δὲ γενόμενον, ὃ μόνον ὑπ' αὐτῦ μὴ κινδυνεύειν, ἀλλ' δι' ἐκείνυ καὶ τὴν τῶν ἄλλων ἀσφάλειαν πορισῖσθαι διὰ τὸ πρὸς τὰς ἱκέτας καθῆκον.

ad v. 157.

ἔτε γὰρ ἔς' ἄφρων] τάχισα [1]) διέλαβε, πόθεν οἱ ἄνθρωποι ἐπὶ τὸ ἀδικεῖν ἔρχονται. ἢ γὰρ διὰ ἀσυνεσίαν, ὃ διὰ τῦ ἄφρων, ἢ ἀκόντως, ὃ διὰ τῦ ἄσκοπος, ὃ δηλοῖ τὸν μὴ τῦ συμφέροντος προνούμενον. ἢ ἑκουσίως, ὃ διὰ τῦ ἀλιτήμων παρέσησεν. ὃ δηλοῖ τὸν ἀλιτάνευτον [2]) τὸν ἑκουσίως τῶν δέοντος ἁμαρτάνοντα. ἠθικῶς δὲ ἀπολογεῖται [3]) ὑπὲρ ἀχιλλέως, δι' ἃ εἶπεν ἀπόλλων, ᾧ ἔτ' ἄρ Φρένες ἐναίσιμοι.

ad v. 158.

νδυκέως] ἐπιμελῶς ἢ διόλυ καὶ ὁλοτελῶς.

ad v. 160.

νόοντε] τὸν μετὰ θορύβυ θρῆνον.

ad v. 161.

παῖδες] οἶκτον ἔχει τὸ τὰς παῖδας κλαίοντας κλαίοντι παρακαθῆσθαι τῷ γέροντι.

1) Euſtath. p. 1343. v. 32.

2) Malim interponere ἤ.

3) Acute animaduertit hoc Scholiaſta.

ad v. 163.

ἐν χλαίνῃ] ἕτω [1]) φασὶν αὐτὸν κεκαλύφθαι τῇ χλαίνῃ. ἐντετυπωμένοις ἱματίοις ὅλον τὸ σῶμα, ὥσε μόνον τὸν τῶν μελῶν τύπον φαίνεσθαι. ἐντυπάς· ἐντυπωδῶς, ὡς διὰ τῆς σκέπης ὁρᾶσθαι τὸν τύπον. ἔστι δὲ ποιότητος ἐπίρρημα. ὑπερβολὴν δὲ πένθος ἀξίαν ἐχ εὑρίσκων αὐτῷ [2]) προθεῖναι, ἐκάλυψεν αὐτὸν, ὑπονοεῖν ἡμῖν καταλιμπάνων, οἷον ἄρα ἦν αὐτῷ τὸ πένθος.

ad v. 164.

τοῖο γέροντος] θαυμαστικῶς τὸ τοῖο.

ad v. 165.

καταμήσατο] ἀθρόως ἐπεσπάσατο. ὡς τὸ ἄφαρ [3]) δ' εὐνὴν ἐπαμήσατο.

ad v. 168.

κέατο] ἔκειντο. τινὲς δὲ ἀντὶ τοῦ κεκαμμένοι ἦσαν.

ad v. 170.

τυτθὸν] πρὸς τὸ μὴ ἐκπλῆξαι τὸν γέροντα. ὁ δὲ ὅμως ἐδὲ τοῦτο ὑποφέρει. προπεπονθυῖα γὰρ ἡ ψυχὴ, πᾶν τὸ μέλλον τοῦ παρόντος χεῖρον λογίζεται.

ad v. 172.

ὀσσομένη] προορῶσα. οἱ δὲ [4]) προαγγέλλουσα.

ad v. 173.

ἀγαθὰ φρονέουσα] φρονῆσαί σε ποιοῦσα ἀγαθά.

ad v. 190.

ἐπλίσαι] εὐτρεπίσαι, παρὰ τὰ ὅπλα. ὡς τὸ ἐντῦναι, παρὰ τὰ ἔντεα.

πείριν-

1) Pseudo-Didym. p. 395.
2) Forte προσθεῖναι. Eustath. p. 1343. v. 61. περιθεῖναι habet.
3) Odyss. ε. 482.
4) προλέγουσα. Eustath. p. 1344. v. 18.

πείρινθα] τὸ ἐπικείμενον τῇ ἁμάξῃ πλινθίον, ἐφ' ἧ φέρεσι τὰ φορτία, ὃ καὶ ὑπερτηρίαν [1]) καλοῦσιν. Ibid. τὸ τετράγωνον πλινθίον, τὸ ἄνωθεν [2]) περιδέμενον ταῖς ἁμάξαις. ἐκ ῥιπῶν δὲ φασιν αὐτὸ πλέκεσθαι, ὥστε εἶναι ῥίπεινθα, [3]) τὰ ἐκ ῥιπῶν πλακέντα. ῥίπα δὲ λέγονται τὰ τῆς οἰσύας πλέγματα. ὁ δὲ Ξενοφῶν κάνναθρον αὐτό φησι. κάννη γὰρ ἡ ψίαθος, ἵν' ᾖ πλέγμα ψιαθῶδες συνέχειν τὸν φόρτον δυνάμενον.

ad v. 191.

κηώεντα] τὸν εἰς τὸ κοιμᾶσθαι ἐπιτήδειον. τινὲς δὲ, τὸν εὐώδη.

ad v. 192.

*) γλήνεα] πολλῆς θέας ἄξια καὶ κόσμια. ἢ χρήματα κατὰ ἡλείας. οἱ δὲ ἀξιοθέατα. γλήνη δὲ παρὰ τὸ γλαμυρὸν, ὅ ἐστι δίυγρον. ὅθεν ἀρχέδημος ὁ γλάμων. καὶ παροιμία ἐν τυφλῶν πόλει γλάμυρος βασιλεύς. ἢ ἀπὸ μέρους εἴρηκε. γλήνην [5]) γὰρ κυρίως τὰ ἀκροκόσμια λέγεσιν.

ad v. 193.

ἐς δ' ἄλοχον ἑκάβην] ἀνθρώπινον τὸ ἀνατίθεσθαι τὸ πρᾶγμα γυναικὶ κοινωνῷ τῶν παθημάτων. καὶ κέ-

1) ὑπερτερίαν. Pseudo-Did. p. 396. ὑπερτερίη. Eustath. p. 1344. v. 39. v. Odyss. ζ. 70.
2) ἄνω. Eustath. ibid.
3) ῥίπινθα. Idem. Mox idem habet ῥίπες pro ῥίπα, et οἱ τῆς οἰσύας λίγοι. Xenophontis locus est in Agesilao p. 250. edit. Bachii, quem vidi ibi in addendis.
4) Ita Pseudo-Did. p. 396.
5) γλήνας. Didym. l. l. De γλήνη et γλήνος compara Apoll. Rhod. p. 133. 169. 425. Lex. MS. γλήνεα· ἀξιοθέατα καὶ πολλῆς θέας ἄξια παρα τὸ τὴν αἴγλην ἢ παρὰ τὸ γλαύσειν, τὸ λάμπειν.

κρικε μὲν, ἐρωτᾷ δὲ, εἰ σύμψηφος ἔσαι αὐτῷ. ὅτι γὰρ ἤθελε, δῆλον. ὁ γὰρ πρὶν καταβῆναι ἐρωτᾷ· ἀλλ' ἐπὶ τοῖς δεδογμένοις ἀναφέρει τὴν γνώμην.

ad v. 202.

ὄκλε'] ἔκλεο, ἀντὶ τοῦ [1]) ἐδεδόξασο.

ad v. 206.

εἰ γὰρ σ' αἱρήσει καὶ ἐσόψεται] ἀντιστρόφως. εἰ γάρ σ' ἐσόψεται καὶ αἱρήσει. ἀντὶ τοῦ, εἰ μόνον θεάσεται, εὐθὺς ἀναιρήσει.

ad v. 207.

ὠμηστὴς] καὶ ἄγριος καὶ αἱμοπότης.

ad v. 208.

ὁ δέ τί σ' αἰδέσεται] ὁδ' ὡς ἱκέτην σε δέξεται καὶ ἐλεήσει.

ad v. 209.

τῷδ' ὥς ποθι] εἰ τῆς σωτηρίας τοῦ γέροντος προνοουμένη μόνον ἐφαίνετο, ἀπρεπὲς ἦν παντελῶς ὁ λόγος. ὅτι καταφρονεῖ υἱοῦ τοιούτου ὑπὲρ ἀσφαλείας πρεσβύτου δυσυχοῦς. νῦν δὲ ἀδυνατοῦσα κομίσασθαι τὸν υἱὸν, ὁ βέλεται προσαποβαλέσθαι καὶ πρίαμον.

ad v. 212.

κρατερῷ] ἀποτόμῳ, σκληρῷ.

ἤπαρ ἔχοιμι] δαιμονίως τῇ ἐμφάσει χρῆται. θανάσιμον γὰρ τὸ τῆς ἥπατος πάθος. καὶ μέσον. οἷον ἡ χολὴ καὶ πολὺ τὸ ἐσθιόμενον. καὶ ἐν παραταύσει τὸ ἐσθίειν. τότε ἐμφῦσα, ἐμφαντικώτατον. ὁ γὰρ λαβοῦσα τῇ χειρὶ, ἀλλ' αὐτῷ προσφῦσα, [2]) τῷ ἥπατι τὸ στόμα. ὡς ἐπὶ σαρκοφάγου θηρίου. εἴγε δὲ μὴ προει-

λήφει-

1) ἐδοξάζου. Eustath. p. 1345. v. 15. et ibid. v. 45. ἐφημίζου.
2) Quantum distat Didymi προσελθοῦσα ab Homerico προσφῦσα;

λήφειμεν τὸ περὶ αὐτὴν πάθος, δυσπαράδεκτον ἦν τὸ μέγεθος τῆς ὑπερβολῆς. οἰκεῖα δὲ ταῦτα μητρὶ καὶ πρεσβύτιδι ὑπὲρ τέκνε ἐκ ἀναιρεθέντος μόνον, ἀλλὰ καὶ αἰκιζομένε ἀτάφε.

ad v. 213.

τότ' ἄντιτα] τὸ τέλειον ἀντίτιτα, ἵν' ᾖ, ἀντιτιμώρητα. συγκέκοπται δὲ ἡ τι συλλαβή. λείπει δὲ ὁ ἄν. ἐκ ἀξιόχρεων δὲ ἡγεῖται τὸν θάνατον τῆ πολεμίε, εἰ μὴ καὶ τῶν σαρκῶν ἐμφάγοι.

ad v. 214.

κακιζόμενον] ἐπεὶ ἐχ ὁ τυχὼν ἦν, ἐδὲ γῦννις. τοιᾶτο δὲ καὶ τὸ, ἀνδρὶ παρὰ κρατερῷ, ὥσπερ σύεσσιν ἔκτορος. αὔξεται δὲ τὸ πάθος ἐπὶ τῷ ἀναξίως ὑβριζομένῳ.

ad v. 215.

[1]) πρὸ τρώων] δίχα τῆ σ. ὡς τὸ, οἷον προσήσας πρὸ ἀχαιῶν τρωσὶ μάχεσθαι.

ad v. 216.

ἑσαότ'] Φιλοξόργως ταῦτα. ἐπεί τοι φεύγοντα ἀνεῖλεν.

ad v. 220.

ἐπιχθονίων] καὶ ὁ θεός.

ad v. 221.

[2]) θυοσκόοι] θυοσκόποι, [3]) οἱ τὰς θυσίας ἐπιτελοῦντες καὶ δι' αὐτῶν μαντευόμενοι. ἢ οἱ λιβανομάντεις.

1) i. e. πρὸ loco πρός.
2) οἱ διὰ τῶν ἐπιθυμιωμένων μαντευόμενοι. Euſtath. p. 1346. v. 37.
3) Hoc totum ſcholium habet Didym. p. 396. Nota praeterea in contextu legi θυοσκόοι, in ſcholio autem θυοσκόποι.

ἱερῆες] οἱ διὰ σπλάγχνων μαντευόμενοι. τὰ μὲν γὰρ θυμιάματα, θύη καλῶνται· τὰ δὲ σπλάγχνα, ἱερά. θυοσκόοι δὲ οἱ ἐμπυροσκόποι. καλέσι δὲ αὐτοὺς λιβανομάντεις.

ad v. 222.

μᾶλλον] ἢ παρέλκει τὸ μᾶλλον, ἢ μᾶλλον τῷ ποιεῖν ἐχωρίζόμεθα καὶ τῷ βαδίζειν ἐπὶ τὰς ναῦς.

ad v. 226.

βέλομαι] τῆς τῶν ἀκουόντων διανοίας ἥψατο ταῦτα λέγων.

ad v. 227.

ἐπὴν γόου] ἐπὰν τῆς τοῦ ἐπ' αὐτῷ θρήνου ἐπιθυμίας κορεσθείην.

ad v. 231.

Φάρεα] Φᾶρος, [1]) χλαῖνα, χιτών. ὅτι διάφορα ταῦτα, νῦν ἐδήλωσε. πέπλοι γὰρ, ἃ περιεβάλλοντο μόναι γυναῖκες. καὶ ἑανῷ λιτὶ κάλυψαν. ἤτοι πέπλῳ. χιτῶν δὲ ἀνδρῷον ἔνδυμα. Φᾶρος, ἱμάτιον ἀνδρῶν καὶ γυναικῶν. χλαῖνα, τὸ περίβλημα τῆς κλίνης.

ad v. 235.

ἐξ ἐσίην] ἐπὶ δημοσίαν ἔκπεμψιν, τετέσιν εἰς πρεσβείαν. δασύνεται [2]) δὲ ἡ δευτέρα συλλαβὴ, παρὰ τὸν ἥσω μέλλοντα ἑσία, καὶ μετὰ τῆς ἐξ ἐξ ἑσία.

ad v. 238.

1) Paullo copiosius de his agit Eustath. p. 1347. v. 31. sqq.

2) Ex mente Aristarchi, vt ex Eustath. intelligitur p. 1347. v. 28. Idem vocabulum occurrit Odyss. φ. 20. Τῶν ξένε' ἐξεσίην πολλὴν ὁδὸν ἦλυθ' (Sic Cod. Mosq. pro ἦλθεν) ὀδυσσεύς.

ad v. 238.

αἰθέσης] τῆς προσώδ, παρὰ τὸ ὑπὸ τῦ ἡλίδ καταί-θεσθαι.

αἰχροῖσιν] κακοῖς. αἴχισος ἀνὴρ, ἀντὶ τῦ κάκισος.

ad v. 239.

λωβητῆρες] [1]) ψεῦσαι. καὶ, ὅτι σε [2]) λωβεύω τέκνον, ἀντὶ τῦ ὲ ψεύδομαι.

ad v. 240.

οἶκοι ἔνεσι γόος] ὡς ἐκ ἔχοντές, φησι, πένθος, ἐμὲ παραμυθεῖσθε. ἐμοί φησι συμπαθήσοντες ἥκετε, ἐχὶ δὲ ἕκασος ἴδιον ὁρίζετε πένθος τὸν θάνατον ἕκτορος. βέλεται δὲ λέγειν, ὅτι δεῖ ἕκασον οἴκοι μένοντα, πενθεῖν τὸν ἕκτορα.

ad v. 241.

[3]) ἔνυθ'] ὠφελεῖσθε. Ibid. ἢ ἐπὶ ταῖς συμφοραῖς μὲ εὐφραίνεσθε. ἀπὸ τῦ ὄναθαι. ἢ [4]) ἐκφαυλίζεσθέ με, ὡς μόνον δεινῶς πάσχοντα. καὶ δοκεῖτε αὐτοὶ ὐδὲν ἔχειν ὐδὲ κοινὸν τὸ κακὸν εἶναι λογίζεσθε.

ad v. 242.

γνώσεσθε] μαθήσεσθε πάσχοντες κακῶς, ὅτι ἕκτως ἀπώλετο.

ad v. 243.

ῥηΐτεροι] καὶ πρὶν μὲν ῥάδιοι τοῖς ἕλλησιν ἦτε, εἰ μὴ ἕκτωρ ἠρίσευε. νῦν δὲ ῥαδιώτεροι γενήσεσθε, ἤτοι εὐκόλως τῇ καθ' ὑμῶν χρήσονται μάχῃ.

ad v. 247.

1) Eustath. p. 1347. v. vlt. ἢ οἱ λώβας ποιοῦντες ἢ οἱ λωβᾶσθαι ἄξιοι.
2) Ex Odyss. ϕ. v. 26.
3) ὀνᾶσθε. Eustath.
4) ἐκφαυλίζετε Didym. p. 397.

ad v. 247.

σκηπανίῳ] σκηπανίῳ, ῥάβδῳ, σκήπτρῳ. διέπε δὲ ἀνέρας, ἀντὶ τοῦ διὰ τῶν ἀνδρῶν ἦει. οἱ δὲ, διεῖργε καὶ διίσας τὰς ἄνδρας. καὶ ἤπιος μὲν ἀεί ἐστι, νῦν δὲ ἡ λύπη ἕκτορος καὶ τὸ πένθος δύσκολον αὐτὸν ἐποίησεν ἀπειρηκότα τῇ ζῆν.

ad v. 248.

σπερχομένοιο] ἐπειγομένῳ τῷ διώκειν. ἢ σπέρχοντος. τοῦτο δὲ πρὸς τὸ ἀπειθὲς τῶν ὠσιζομένων τῶν βασιλείων οἰκημάτων.

ad v. 249.

νεικείων] οἰκεῖον μὲν τῷ πάθει τὸ δυχεραίνειν πρὸς πάντας. λελῃθότως δὲ ὅμηρος κατάλογον ποιεῖται τῶν ἔτι τῷ πριάμῳ ὑπολειφθέντων παίδων.

ad v. 251.

δηΐφοβον] ἀλεξάνδρῳ [1]) τοξευθέντος ὑπὸ φιλοκτήτου πρίαμος τὸν ἑλένης γάμον ἔπαθλον ἔθηκε τῷ ἀρισεύσαντι κατὰ τὴν μάχην. δηΐφοβος δὲ γενναίως ἀγωνισάμενος ἔγημεν αὐτήν. ἡ ἱστορία παρὰ [2]) λυκόφρονι.

ad v. 253.

σπεύσατε] πᾶν γὰρ αὐτῷ βραδὺ φαίνεται πρὸς τὰ λύτρα, κἂν καὶ ταχὺ ᾖ. παροξυτόνως δὲ τὸ κατηφόνες. ὡς τὸ κηληδόνες, σειρηδόνες. εἰς μαλακίαν δὲ αὐτὰς ἐπισκώπτει ὡς συγγίας αἰτίας. γίνεται δὲ κατηφὼν ἀπὸ τοῦ κατηφῶ, ὁ κάτω τὰ φάη ἔχων δι' αἰχύνην ἢ ἠνειδισμὸν ἢ λύπην.

αὖθ' ἅμα πάντες] ἠθικὴ ἡ μεταξὺ ἀναφώνησις. ὀργιζόμενος δὲ τοῖς λελειμμένοις ἀφορμὴν ἔχει ὀδύρεσθαι τὰς

1) Vid. Eustath. p. 1348. v. 20. seqq. et Didym. p. 397.
2) Vers. 168. seqq.

τὰς τετελευτηκότας. ἐλεεινὸν δὲ καὶ τὸ ἐπὶ τέκνων. ὃ δεινὸν ἓν τὸ μὴ γεννῆσαι· ὡς τὸ γεννηθέντας ἀπολέσαι. πάντα δὲ κινητικά, σεναίζει, λοιδορεῖ, προστάσσει.

ad vers. 258.

ἕκτορά θ' ὃς] ὃ μόνον δι' ἀρετὴν ἐξαίρετος ὁ τοῦ ἕκτορος ἔπαινος, ἀλλὰ καὶ διὰ τὸ πρόσφατον τῆς συμφορᾶς. ἠθικῶς δὲ πρίαμος [1]) κρείττονά φησι τῶν παίδων, τὸ δοκεῖν ἐξ ἑαυτοῦ γεγεννῆθαι.

ad v. 262.

ἐπιδήμιοι ἁρπακτῆρες] καὶ ὁ τῶν πολεμίων. Ibid. ἐν τῷ ἰδίῳ δήμῳ πρὸς τὸ ἠδικεῖν γενναῖοι. ἔνθεν, τὸ οἶκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες.

ad v. 265.

οἱ δ' ἄρα πάντες] δεόντως σιωπῶσιν. ἐδὲ γὰρ ἀντιλέγειν ἔδει πατρὶ πενθοῦντι [2]).

ad v. 266.

[3]) ἔξω μὲν] πρᾶγμα δὲ βιωτικὸν ἐκόσμησε ποιητικῶν λέξεων ποικιλίᾳ.

ad v. 267.

πρωτοπαγέα] ἔστι γὰρ τὸ μὲν τάξεως, τὸ δὲ ποιότητος.

ad v. 268.

ἧρεον] ἐλάμβανον.

ad v. 269.

1) I. e. κρείττονα, ἢ ὥστε δοκεῖν κ. τ. λ. Referuntur enim haec ad illa, θεὸς ἔσκε et ἐδὲ ἐώικα κ. τ. λ.

2) Addiderim καὶ ὀργιζομένῳ.

3) Sic in scholiis. In contextu autem ἓκ μέν.

4) Hoc scholium auctius legitur apud Didym. p. 398.

ad v. 269.

οἰήκεσσιν] τοῖς κρίκοις, δι' ὧν [1]) διείρονται αἱ ἡνίαι. Ibid. κρίκοις, δι' ὧν ἐνειρόμεναι αἱ ἡνίαι τὰς ἵππους οἰακίζουσιν. ἡ γὰρ ἡνία τρόπον τινὰ οἴαξ ἐστὶ τοῦ ἅρματος.

ad v. 270.

ζυγόδεσμον] ἱμάντα ἢ χοῖνον, ᾧ προσδεῖται ὁ ζυγὸς τῷ ῥυμῷ. Ibid. ὑπεροχὰς ἔχον [2]) ἐν μέσῳ τινάς, αἷς περιειλῆνται οἱ ἱμάντες. οἱ δὲ ἕνα μέσον ἔχοντες ὀμφαλὴν, ᾧ προσδεῖται ὁ ῥυμός.

ad v. 271.

καὶ τὸ μὲν] τὸ [3]) ζυγόδεσμον.

ad v. 272.

πέζῃ] πᾶν τὸ ἄκρον πέζα καλεῖται. ἔχει δὲ ὁ ῥυμὸς πέζας δύο, τὴν πρὸς γῆν καὶ τὴν πρὸς ζυγόν. τὴν ἓν πρὸς τὸν ζυγὸν, πρώτην λέγει.

ἔσορι] τῷ κατὰ τὸ ἄκρον τοῦ ῥυμοῦ ἐμπεπηγότι πασσάλῳ, περὶ ὃν ὁ κρίκος ἐμβαλόμενος τῷ ζυγῷ ἐντίθεται. δασύνεται δὲ τὸ, ἕσορι, ἀπὸ τῆς [4]) ἕσεως.

ad v. 273.

ἑκάτερθεν] ἑκατέρωθεν ἔδησαν ἀμφαλλάσσοντες τὸν ἐν μέσῳ τοῦ ζυγοῦ ὀμφαλὸν, ἵνα μὴ ἑτεροκλινήσῃ.

ad v. 274.

1) ἐνείρονται Eustath. p. 1350. v. 8.

2) Haec rectius apud Eustath. p. 1350. v. 7. referuntur ad ὀμφαλόεν. Acute idem animaduertit, mensuram ζυγοδέσμου ab Homero κατὰ πάρεργον et ὡς ἐκ παρόδου notatam esse.

3) Inter masculina recenset Lex. MS. ζυγόδεσμος· ὁ ἱμὰς τοῦ ζυγοῦ. Vide Cel. Villoisonum ad Apoll. Lex. p. 382.

4) Quam Eustath. interpretatur ἐμβολήν. Pro ἔσορι nonnullos legisse ἔκτορι, οἷον ἐχέτορι, ad h. l. monet Didym. p. 398.

ad. v. 274.

γλωχῖνα] ὑπὸ τὴν γωνίαν τὴν γεγονυῖαν ἐκ τῆ ξυμῆ καὶ τῆ ζυγῆ. ὅταν γὰρ συνδεθῇ τῷ ξυμῷ ὁ ζυγὸς, ἀποτελῶνταί τινες γωνίαι. δηλοῖ δὲ καὶ τὴν γλωσσίδα. ἔγναμψαν δὲ, ἀπετερμάτισαν, ἵνα μὴ κρέμηται ὁ ἱμάς.

1) ἔκαμψαν] τὸ τέλος τῆ ἱμάντος.

ad v. 277.

ἐντεσιεργὲς] ἐ τὲς μετὰ καινθηλίων νωτοφορῆντας. Ibid. τὲς ὑποζυγίες καὶ μὴ ψιλῶς νωτοφόρες, ἀλλὰ τήν τε ἅμαξαν καὶ τὴν πείνθα ἕλκοντας, ἅπερ καὶ ἔντεά φησιν. ἢ ἐντεσιεργὲς, τὲς ἑτοίμες πρὸς τὰ ἔργα.

ad v. 281.

2) ζευγνύσθην] ζευγνῦναι προσέτασσον. Ibid. τέτοις γὰρ διὰ τῶν πριαμιδῶν τὸ ζεῦγμα παρεσκευάζετο. καὶ οἰκοδομεῖ μὲν ὁ ἐργάτης, οἰκοδομεῖται δὲ ὁ χορηγός. καὶ γλύφει μὲν ὁ γλυφεὺς, γλύφεται δὲ ὁ δεσπότης. ζεύγνυσιν ὁ ὑπηρετῶν, ζεύγνυται δὲ ὁ προστάσσων.

ad v. 283.

τετιηότι] λελυπημένῳ.

ad v. 285.

ὄφρα λείψαντε κιοίτην] μόνος δὲ σπένδει ὁ πρίαμος.

ad v. 292.

αἶτα δ' οἰωνὸν] γυναικεῖον ἦθος τὸ ἐπὶ μαντείαις καταφεύγειν εἴ τι πε περίφοβον χοῖεν.

ad v. 297.

ἔγωγέ σ' ἔπειτα] ἐξ ἀντικειμένε φησὶν, ὅτι κωλύσω σε.

ad v. 300.

1) Per ἔκαμψαν, Euſtath. interpretatur ἔγνκμψαν. p. 1349. v. 44.

2) Euſtath. ἐζεύγνυον.

ad v. 300.

ἀπιθήσω] πείθεται πρίαμος, οὐκ ἀπιστῶν ἴριδι. ἀλλὰ τὴν γυναῖκα θαρσοποιῶν. Ibid. μᾶλλον ἐκ τοῦ καταδέξασθαι τὸν τῆς γυναικὸς λόγον φαίνεται πληροφορίαν ἔχων τῶν λόγων τῆς ἴριδος. πεπεισμένος ἐξ ἐκείνων, ὅτι καὶ τοῦτο τελέσει ὁ ζεύς. οὐ γὰρ ἂν, εἰ περὶ ἐκείνων ἀμφέβαλλε, τούτῳ συγκατέθετο τῆς γυναικὸς ἐνισταμένης ἄλλως μὴ ἐάσαι αὐτόν.

ad v. 303.

ἀκήρατον] ἀδιάφθορον, καθαρὸν, ἀθόλωτον, ἀμίαντον.

ad v. 304.

χέρνιβον] οὐχ ὥς τινες, [1]) τὸ ἀγγεῖον. ἐπιφέρει γὰρ, πρόχοόν θ' ἅμα. ἀεὶ δὲ παρὰ τῷ ποιητῇ, τὸ ὕδωρ δηλοῖ.

ad v. 306.

μέσῳ ἕρκεϊ] ἐν τῷ μέσῳ τῆς αὐλῆς, ὅπου καὶ βωμὸς τοῦ ἑρκείου διὸς ἦν. πρὸς ὃν μετὰ τὴν ἅλωσιν φυγὼν ἀπέσφακται.

ad v. 309.

φίλον ἐλθεῖν] τὸ μὲν φίλον πρὸς τὸ μή τι παθεῖν· τὸ δ' ἐλεεινὸν, πρὸς τὸ τυχεῖν, ὧν ἐφίεται. Ibid. ὡς μὴ ἐχθρῶς προσδεχθείη. ἐλεεινὸν δὲ, ἐλέους ἄξιον. καὶ ὡς ἐχθρὸς μὲν τῆς ἔχθρας αἰτεῖται λῦσιν· ὡς δὲ δυστυχὴς, ἐλέους τυχεῖν.

ad v. 315.

ἀετὸν ἧκε] φασὶν [2]) ἐπὶ τὴν βασιλείαν ὁρμῶντι αὐτῷ ἀετὸν φανῆναι σύμβολον τῆς εὐτυχίας καὶ τοῦ κράτους.

1) Inter eos est quoque Didym. v. p. 398.
2) Haec ad vers. 294. vbi φίλτατος legitur referenda sunt v. Eustath. p. 1351. v. 27.

